καὶ ἔχρισεν αὐτὸν ἐν ἐλαίῳ ἁγίῳ·
ἐγενήθη αὐτῷ εἰς διαθήκην αἰῶνος
καὶ τῷ σπέρματι αὐτοῦ ἐν ἡμέραις οὐρανοῦ
λειτουργεῖν αὐτῷ ἅμα καὶ ἱερατεύειν
καὶ εὐλογεῖν τὸν λαὸν αὐτοῦ ἐν τῷ ὀνόματι.
16 ἐξελέξατο αὐτὸν ἀπὸ παντὸς ζῶντος
προσαγαγεῖν κάρπωσιν κυρίῳ,
θυμίαμα καὶ εὐωδίαν εἰς μνημόσυνον,
ἐξιλάσκεσθαι περὶ τοῦ λαοῦ σου.
17 ἔδωκεν αὐτῷ ἐν ἐντολαῖς αὐτοῦ
ἐξουσίαν ἐν διαθήκαις κριμάτων
διδάξαι τὸν Ιακωβ τὰ μαρτύρια
καὶ ἐν νόμῳ αὐτοῦ φωτίσαι Ισραηλ.
18 ἐπισυνέστησαν αὐτῷ ἀλλότριοι
καὶ ἐζήλωσαν αὐτὸν ἐν τῇ ἐρήμῳ,
ἄνδρες οἱ περὶ Δαθαν καὶ Αβιρων
καὶ ἡ συναγωγὴ Κορε ἐν θυμῷ καὶ ὀργῇ·
19 εἶδεν κύριος καὶ οὐκ εὐδόκησεν,
καὶ συνετελέσθησαν ἐν θυμῷ ὀργῆς·
ἐποίησεν αὐτοῖς τέρατα
καταναλῶσαι ἐν πυρὶ φλογὸς αὐτοῦ.
20 καὶ προσέθηκεν Ααρων δόξαν
καὶ ἔδωκεν αὐτῷ κληρονομίαν·
ἀπαρχὰς πρωτογενημάτων ἐμέρισεν αὐτῷ,
ἄρτον πρώτοις ἡτοίμασεν πλησμονήν·
21 καὶ γὰρ θυσίας κυρίου φάγονται,
ἃς ἔδωκεν αὐτῷ τε καὶ τῷ σπέρματι αὐτοῦ.
22 πλὴν ἐν γῇ λαοῦ οὐ κληρονομήσει,
καὶ μερὶς οὐκ ἔστιν αὐτῷ ἐν λαῷ·
αὐτὸς γὰρ μερίς σου καὶ κληρονομία.
23 Καὶ Φινεες υἱὸς Ελεαζαρ τρίτος εἰς δόξαν
ἐν τῷ ζηλῶσαι αὐτὸν ἐν φόβῳ κυρίου
καὶ στῆναι αὐτὸν ἐν τροπῇ λαοῦ
ἐν ἀγαθότητι προθυμίας ψυχῆς αὐτοῦ·
καὶ ἐξιλάσατο περὶ τοῦ Ισραηλ.

$15^3$ αιωνιον BA: cf. 7 15 6 | $15^4$ τω] pr. εν B† | $15^6$] + αυτου $S^c$ || $16^1$ εξελεξαντο S*† | $16^2$ καρπωμα S† | $16^3$ ευωδια A† | $16^4$ σου > S* || $17^1$ αυτω] -τον B | εν (+ ταις A†) εντολαις] εντολας S | $17^3$ τα μαρτ.] μαρτυριαν A†, + αυτου $S^c$† | $17^4$ φωνησαι BS | ισραηλ] pr. τον $AS^c$ || $19^3$ εποιησεν] + εν S | $19^4$ αυτους SA || $20^3$ αυτοις B† | $20^4$ αρτος $S^c$† | πρωτοις] πρωτον γενηματος S*† | πλησμονην] εν -μονη SA || $21^2$ τε > S* || $22^3$ και > BS* || $23^3$ στησαι BS

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id41624694X/462 UNIVERSITÄT LEIPZIG